E Codice Hierosolymitano
S. Sepulcri 17.
Menologii
Anonymi Byzantini
Saeculi X
Basilius Latyšev:
edidit.
Petropoli 1912
τ. II
Σ. 307–309

Μηνὶ Αὐγούστῳ ΚΒ΄.

Μαρτύριον τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀγαθονίκου.

1). Μαξιμιανοῦ τοῦ τυράννου τὴν βασίλειον ἀρχὴν
ὡς οὐκ ὤφελε κατὰ τὴν Νικομήδους διέποντος
ὁ κόμης Εὐτόλμιος τὴν κατὰ Χριστιανῶν ἐξου-
σίαν ἐλάμβανε καὶ πολλοὺς αὐτῶν ὁ πάντολμος
τῆς ζωῆς ἀπεστέρει.
Ἔνθεν τοι καὶ Ζωτικὸν τὸν καλὸν διαβληθέντα
τούτῳ, ὡς εἴη Χριστιανός, σὺν τοῖς αὐτοῦ μαθηταῖς ἀναιρεῖ.
f. 203 Μαξιμιανοῦ τοίνυν τοῦ δυσσεβοῦς πρὸς τὴν Θρᾴκην ἐξωρμηκότος ὁ
κόμης Εὐτόλμιος τὴν Νικομήδους κατέλαβεν, ἐν ᾗ καθών, ὡς
Πρῶτος πρίγκιψ διά τινος Ἀγαθονίκου σοφοῦ καὶ προσηνέχθη
Χριστῷ καὶ ἔστι σὺν αὐτῷ παρά τινι τῶν τῆς πόλεως ἀγρῶν,
στέλλει στῖφος στρατιωτῶν ἐφ᾽ ᾧ τούτους συσχόντες ἀγάγωσι
πρὸς αὐτόν.

2). Ἀχθέντων οὖν τῶν ἁγίων ὁ κόμης ἐν τῇ Λαμψῷ (τόπος δὲ οὗτος οὕτω
καλούμενος) προκαθίσας «Ποῦ οἱ τὰ θεοσπίσματα, λέγει, τῶν αὐτο-
κρατόρων ἀθετοῦντες εἰσίν;» ἡ τάξις ἔφη «Ἑστήκασι, κύριε». Κἀ-
κεῖνος «Τίς οὗτος;» ἀπιδὼν πρὸς τὸν Ἀγαθόνικον ἔφη. Κἀκεῖνοι
«Ἀγαθόνικος» εἶπον «οὗτος ὁ τῶν Χριστιανῶν ἔξαρχος, ὃς γένους
ἀπὸ μεγίστου τυγχάνει· Ἱππασίου γὰρ ἀπόγονος τοῦ μεγάλου
καθέστηκε, Ἀσκληπιάδου δὲ τοῦ ἐπάρχου γέννημα, οὐ μὴν τὸ
διάγων κατὰ τὴν κώμην Κυβίνου. Ὃς ἀναπεῖσαι τὸν τῆς ἐνθάδε
συγκλήτου πρίγκιπα τῇ σῇ πρὸ μικροῦ ἀπηγγέλη λαμπρότητι. Καὶ
col. 2 οὗτος ὁ πρίγκιψ ἤδη συγκινούμενοι καὶ τοῦτον τῇ χειρί.
Καὶ ὁ κόμης «[Εἰ] ταῦτα οὕτως ἔχει» πρὸς τὸν Ἀγαθόνικον
ἔφη «καὶ εἰ γένους οὕτως εἶ περιφανοῦς καὶ μεγίστου τυγ-
χάνεις ἠξιωμένος τῆς τῶν βασιλέων θρησκείας, ἵνα τί τοὺς τῶν
θεῶν θεραπευτὰς ἀφιστῶν αὐτῶν τῷ ἐσταυρωμένῳ προσάγεις;»
«Ὅτι Θεὸς οὗτός ἐστιν ἀληθὴς καὶ μέγας» φησὶν Ἀγαθόνικος
«καὶ αὐτὸς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ
ἐν αὐτοῖς πάντα· οἱ γὰρ θεοί σου βδελύγματά εἰσι, δαιμόνων ἀπα-
τηλῶν ἀφιδρύματα. Ὧν καὶ Βαβύλας ὁ ἀρχιερεὺς καὶ μάρτυς
ἐπὶ Νουμεριανοῦ κατέπτυσεν ἐν Ἀντιοχείᾳ καὶ δὴ καὶ Ῥωμανὸς
κατεγέλασεν ὁ μάρτυς, ὃς καὶ τὴν θεολόγον ἐκείνην ἀπετμήθη γλῶτταν
f. 203v πρὸς τοῦ ἐμοῦ πατρὸς τοῦ ἐπάρχου Ἀσκληπιάδου, καὶ νῦν
τηνικαῦτα ὄντι μοι καὶ αὐτοῖς ὀφθαλμοῖς καθορῶντι τὰ πεπραγμένα.
Τότε γὰρ καὶ Ἄνθιμος ὁ κλεινὸς τὸν διὰ Χριστὸν ἀγῶνα ἐπὶ
Μαξιμιανοῦ τοῦ τυράννου τετέλεκεν, ἐλέγξας τὴν αὐτοῦ
κακοσχημοσύνην καὶ ἀθεότητα

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἅτινα δὴ ταῦτα καλῶς ἐγὼ μυηθεὶς σὺν ὅλῳ τῷ οἴκῳ καὶ τῇ τεκούσῃ προσῆλθον Χριστῷ.
τῷ τοι καὶ ὅσους δεδύνημαι τῆς πλάνης ἀποσπῶν τούτῳ προσάγω καλῶς ποιῶν.
εἰ δὲ γὰρ καὶ ἐπείθου μοι καὶ αὐτός, ἐσώθης ἂν πάντως τῆς μακαρίας ζωῆς ἐκληρονόμησας τῆς εὐδίας».
3). Ταῦτα ἀκούσας ὁ ἄρχων τῷ λόγῳ «Χρή, φησί, τοῖς συνειλημμένοις, πρὸς βασιλέα τοῦτον πεμφθῆναι, ἵν' ἐκεῖνος αὐτὸν μετέλθοι καθὰ δοκεῖ».
τοῦτο τοιγαροῦν εἰπὼν μαστίζει μὲν αὐτόν, εἶτα σὺν τῷ πρίγκιπι καὶ ἄλλοις δὴ τοῖς πεπιστευκόσι Χριστῷ ταῖς Ἀγαθονίκου διδαχαῖς προπέμπει τῷ βασιλεῖ δεσμίους, κατὰ τὴν Θρᾴκην διάγοντι, εἶτα αὐτὸς κατόπιν ἀπαίρει· γενόμενος οὖν κατὰ τὸ ἐμπόριον col. 2
Κάρπην οὕτω καλούμενον Ζώτικον τὸν καλὸν καὶ τοὺς αὐτοῦ μαθητὰς ἀναιρεῖ.
εἶτα κατά τινα κώμην λεγομένην Ποταμοὶ παρελθών, τῶν ἑπομένων ἁγίων Ζήνωνα καὶ Θεοπρέπη καὶ Ἀκίνδυνον καταπέλταις προσηλώσας ἀνεῖλε, μὴ πειθομένους τοῖς αὐτοῦ θεοῖς θυσίαν προσενεγκεῖν.
ἐκεῖθεν οὖν τὴν Χαλκηδόνα καταλαβὼν ὁ κακότροπος Σευηριανὸς τὸν γηραιὸν τιμωρεῖται, διαβληθέντα τοῦτον αὐτῷ μὴ εἴξαντα τοῖς δόγμασι τῶν κακούργων δυσσεβῶν βασιλέων, ἀλλὰ παρρησίᾳ τὸν Χριστὸν Θεὸν ὁμολογοῦντα τέλος τὴν διὰ ξίφους αὐτῷ τελευτὴν ἐπάγει.
4). Κατὰ τὸ Βυζάντιον δὲ τῷ Εὐτολμίῳ τάχος ἐκεῖθεν ἀφικομένῳ τὸν Ἀγαθόνικον τοὺς συνδεσμώτας μετὰ τοῦ πρίγκιπος οἱ στρατιῶται ‹τούτῳ› προσάγουσιν αὐτοῦ τοῦτο κελεύσαντος.
πάλιν οὖν ἐρωτήσεις, πάλιν ἀπειλαί, πάλιν φόβοι καὶ ‖ δείματα· ὧν f. 204
μικρὰ ἢ οὐδὲ ἐκείνου φροντίσαντος ὁ δυσσεβὴς ἔξω τῆς πόλεως γενόμενον κελεύει σπαθίζεσθαι.
καταπορφυροῦται τοίνυν τὸ μαρτυρικὸν Ἀγαθονίκου σῶμα, τοῖς τιμίοις αἵμασιν ἡ γῆ πιαίνεται ταύτου· εὐχὴ πρὸς Θεὸν δέησις ἐξακούεται, «Μὴ δὴ παρίδῃς ἡμᾶς, Χριστέ,» λέγοντος, «καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ τῆς ἀφθάρτου ἀθανάτου καταξίωσον βασιλείας».
5). Ταῦτα οὕτως ἐχόντων ἅπαξ ἐκεῖθεν κόμης τὸν Μαξιμιανὸν κατέλαβε πάντα τὰ κατὰ τὸν Ἀγαθόνικον τὸν πρίγκιπα καὶ τοὺς συνδεσμώτας ἁγίους ἀπαγγέλλει κατὰ λεπτόν.
καὶ ὃς ἅμα τοῦτον παραστησάμενος ἀνεγίνωσκε τοῖς ὑπομνήμασι ταῖς ἐρωτήσεσιν, ἀλλὰ δὴ τῷ χαρακτῆρι προσήκειν αὐτῷ τὸν Ἀγαθόνικον κατὰ γένος, φησὶ πρὸς αὐτόν, ἵνα τοῖς αὐτοῦ χρήσωμαι λόγοις.

(ἀκολουθεῖ)

col.2 «Ἀγαθόνικε, τί θέλεις;» ὁ δὲ «Διὰ Χριστόν, ἔφη, τὸν κύριόν μου καὶ ἔνδοξον» καὶ ἅμα καταδέχεται ἤρξατο τὴν αὐτοῦ δύναμιν καὶ τὸ σθένος τῶν εἰδώλων.

τότε δίδωσιν ὁ ἀνθύπατος οὗτος καὶ αὐτοῦ τὴν ἀπόφασιν, ἀλλὰ μὴν καὶ κατὰ τῶν λοιπῶν τῶν συνάθλων αὐτῷ.

Χαίρων οὗτος ὁ μάρτυς σὺν αὐτοῖς πρὸς τὸν τῆς τελειώσεως ἀπάγεται τόπον

«Εὐλογητὸς κύριος, ἠγαλλίασε, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν.
ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς ἐρρύσθημεν.
ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν». (Ψαλμὸν 123(124) 6-8

6) Ταῦτα νῦν ζῶ, πανάριστε καὶ καλὲ μάρτυς καὶ θαυμαστὲ Ἀγαθόνικε, καὶ τὴν μεγάλην ἀπεκτήθης σὺν πρεσβυτέρῳ τούτῳ καὶ λοιποῖς συνάθλοις σου. καὶ πρὸς ὃν ἐπόθησας Χν καὶ ὑπὲρ οὗ τὸ σὸν ἐξέχεις αἷμα ἐξελίπωσας.

ᾯ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας.

ἀμήν.